eul_wid: kve-aa

*Ζήνων ὁ Ταρσεύς* · Zeno of Tarsus

# Fragments on Stoic Succession

*Ἀποσπάσματα περὶ Διαδοχῆς Στωικῆς*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine (frg)
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Συναγωγή* Collection
**Affiliation:** Stoic

1 Eusebius praep. evang. XV 13, 8 (p. 8160). Κράτητος δὲ ἐγένετο Ζήνων ὁ Κιτιεύς, ὁ τῆς τῶν Στωϊκῶν φιλοσόφων αἱρέσεως καταστὰς ἀρχηγός. Ζήνωνα δὲ Κλεάνθης διεδέξατο, Κλεάνθην δὲ Χρύσιππος, τοῦτον δὲ Ζήνων ὁ ἕτερος καὶ οἱ καθεξῆς. λέγονται δ’ οὗτοι πάντες διαφερόντως καὶ βίου στεῤῥοῦ καὶ διαλεκτικῆς ἐπιμεληθῆναι. Diogenes Laërt. VII 35 (in homonymorum indice) πέμπτος (scil. γέγονε Ζήνω ν) Χρυσίππου μαθητής, βιβλία μὲν ὀλίγα γεγραφώς, μαθητὰς δὲ πλείστους καταλελοιπώς. Suidas s. v. Ζήνων Διοσκορίδου Ταρσεύς, ὡς δέ τινες Σιδώνιος, φιλόσοφος, μαθητὴς Χρυσίππου τοῦ Ταρσέως, φιλοσόφου Στωϊκοῦ, καὶ διάδοχος.

2 Ind. Stoic. Herc. col. XLVIII. καὶ πέντε πρὸς Ἱερώ(νυ) μ(ον) καὶ Φ ...... (πε ρὶ ὑπ)οθέσε(ω)ν (γ)νώρι(μοι) δ’ α(ὐτο)ῦ γεγόνασιν Διο γέν ( η ς ) Ἀρτεμιδώρου Σε ( λευκ ε )ὺς ( ἀ π )ὸ Τίγριος, ὁ (παραλαβὼν Ζή)νωνος τὴν (σχολήν· Ἀρχ έ )δημος Δι ...... Ταρσ)εύς· Δ(ι)ο .... etc.

3 Diog. Laërt. VII 41. ἄλλοι δὲ οὐ τοῦ λόγου (scil. τοῦ κατὰ φιλοσοφίαν) ταῦτα μέρη φασίν (scil. logicam, physicam, ethicam), ἀλλ’ αὐτῆς τῆς φιλοσοφίας, ὡς Ζήνων ὁ Ταρσεύ ς.

4 Diog. Laërt. VII 84. τὸ δὲ ἠθικὸν μέρος τῆς φιλοσοφίας διαιροῦσιν (ipsam partitionem vide III p. 3, 1). καὶ οὕτω δὲ ὑποδιαιροῦσιν οἱ περὶ Χρύσιππον——καὶ Ζήνωνα τὸν Ταρσέα etc.

5 Arius Didymus epit. phys. fr. 36 Diels (Eusebius praep. evang. XV 18, 2). τὸν μὲν γὰρ τούτου (scil. Chrysippi) μαθητὴν καὶ διάδοχον τῆς σχολῆς Ζήνωνά φασιν ἐπισχεῖν περὶ τῆς ἐκπυρώσεως τῶν ὅλων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org